**1-4** Ath. 668e-9e

**1** ⊗?
ὦ Θεόδωρε, δέχου τήνδε προπινομένην
τὴν ἀπ' ἐμοῦ ποίησιν· ἐγὼ δ' ἐπιδέξια πέμπω
σοὶ πρώτωι, Χαρίτων ἐγκεράσας χάριτας.
καὶ σὺ λαβὼν τόδε δῶρον ἀοιδὰς ἀντιπρόπιθι,
συμπόσιον κοσμῶν καὶ τὸ σὸν εὖ θέμενος.

**2**
ἀγγελίας ἀγαθῆς δεῦρ' ἴτε πευσόμενοι,
καὶ κυλίκων ἔριδας διαλύσατε, καὶ κατάθεσθε
τὴν ξύνεσιν παρ' ἐμοί, καὶ τάδε μανθάνετε.

**3**
κότταβον ἐνθάδε σοι τρίτον ἑστάναι οἱ δυσέρωτες
ἡμεῖς προστίθεμεν γυμνασίωι Βρομίου
κώρυκον. οἱ δὲ παρόντες ἐνείρετε χεῖρας ἅπαντες
ἐς σφαίρας κυλίκων· καὶ πρὶν ἐκεῖνον ἰδεῖν,
ὄμματι βηματίσασθε τὸν αἰθέρα τὸν κατὰ κλίνην,
εἰς ὅσον αἱ λάταγες χωρίον ἐκτατέαι.

**4**
ὕμνους οἰνοχοεῖν ἐπιδέξια σοί τε καὶ ἡμῖν·
τόν τε σὸν ἀρχαῖον τηλεδαπόν τε φίλον
εἰρεσίηι γλώσσης ἀποπέμψομεν εἰς μέγαν αἶνον
τοῦδ' ἐπὶ συμποσίου· δεξιότης τε λόγου
Φαίακος Μουσῶν ἐρέτας ἐπὶ σέλματα πέμπει.

**5** Ath. 443c
καί τινες οἶνον ἄγοντες ἐν εἰρεσίαι Διονύσου,
συμποσίου ναῦται καὶ κυλίκων ἐρέται,
⟨ ⟩ περὶ τοῦδε· τὸ γὰρ φίλον οὐκ ἀπόλωλε.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415736544/96 UNIVERSITÄT LEIPZIG